Ακαδημία Αθηνών / Academy of Athens

# Υ

**ὕβρις** **1.** Ἀπρέπεια/ὑπερβασία, indecency/immoderation, Ξενοφάνης 1.17 *οὐχ ὕ β ρ ι ς πίνειν ὁπόσον κεν ἔχων ἀφίκοιο οἴκαδ' ἄνευ προπόλου μὴ πάνυ γηραλέος* **2.** Ἀλαζονεία/ἔπαρση, insolence/arrogance, Ἡράκλειτος 43 *ὕ β ρ ι ν χρὴ σβεννύναι μᾶλλον ἢ πυρκαϊὴν* **3.** Προσβολή/ἠθικὴ μείωση, outrage/moral diminution, Δημόκριτος 111 *ὑπὸ γυναικὸς ἄρχεσθαι ὕ β ρ ι ς εἴη ἂν ἀνδρὶ ἐσχάτη.*

**ὑγίεια** (τύπ. *ὑγίειη*). Ὑγεία, health, Ἡράκλειτος 111 *νοῦσος ὑ γ ι ε ί η ν ἐποίησεν ἡδὺ καὶ ἀγαθόν, λιμὸς κόρον, κάματος ἀνάπαυσιν* Φιλόλαος Α 11 (DK I 400,16) *ὑ γ ι ε ί α ς ἀρχὴν* Δημόκριτος 234.1-4 *ὑ γ ι ε ί η ν εὐχῇσι παρὰ θεῶν αἰτέονται ἄνθρωποι... προδόται τῆς ὑ γ ε ί η ς τῇσιν ἐπιθυμίῃσιν γίνονται.* Πρβλ. *νόσος.*

**ὑγιής.** Ὑγιής, healthy, Μέλισσος 7(4)-(5) *οὐδὲ ἔχει ἴσην δύναμιν τῷ ὑ γ ι ε ῖ ... οὐδ' ἂν τὸ ὑ γ ι ὲ ς ἀλγῆσαι δύναιτο· ἀπὸ γὰρ ἂν ὄλοιτο τὸ ὑ γ ι ὲ ς καὶ τὸ ἐόν.*

**ὑγρός** (συνών. *διερός*, ἀντίθ. *ξηρός, αὖος, καρφαλέος*). Ὑγρός, wet, Ἡράκλειτος 117 *ἀνὴρ ὁκόταν μεθυσθῇ, ἄγεται ... ὑ γ ρ ὴ ν τὴν ψυχὴν ἔχων* 126 *τὰ ψυχρὰ θέρεται, θερμὸν ψύχεται, ὑ γ ρ ὸ ν αὐαίνεται, καρφαλέον νοτίζεται* Ἐμπεδοκλῆς 38.3 *γαῖά τε καὶ πόντος πολυκύμων ἠδ' ὑ γ ρ ὸ ς ἀὴρ* Διογένης 5.9 *ἔστι γὰρ (*sc. *ἀὴρ)... καὶ ξηρότερος καὶ ὑ γ ρ ό τ ε ρ ο ς καὶ στασιμώτερος καὶ ὀξυτέρην κίνησιν ἔχων.*

**ὑδατοθρέμμων.** Ὑδατόθρεπτος/ὑδρόβιος, water-nurtured/aquatic, Ἐμπεδοκλῆς 21.11 καὶ 23.7 *ὑ δ α τ ο θ ρ έ μ μ ο ν ε ς ἰχθῦς.* Πρβλ. *θαλασσονόμος.*

**ὕδωρ.** Ὕδωρ/νερό, water **1.** Ὡς τὸ πρωταρχικὸ στοιχεῖο τοῦ κόσμου, as the primary element of the world, Θαλῆς Α 12 (DK I 77, 2) ἀλλὰ Θαλῆς μὲν... (sc. τὴν ἀρχήν) *ὕ δ ω ρ* εἶ-

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

ναί φησιν (διὸ καὶ τὴν γῆν ἐφ' ὕδατος ἀπεφαίνετο εἶναι) **2.** 'Ως ἕνα ἀπὸ τὰ πρωταρχικὰ στοιχεῖα τοῦ κόσμου, as one of the primary elements of the world, Ξενοφάνης 29 *γῆ καὶ ὕ δ ω ρ πάντ' ἐσθ' ὅσα γίνοντ(αι) ἠδὲ φύονται* 33 *πάντες γὰρ γαίης τε καὶ ὕ δ α τ ο ς ἐκγενόμεσθα* 'Εμπεδοκλῆς 17.18 *πῦρ καὶ ὕ δ ω ρ καὶ γαῖα καὶ ἠέρος ἄπλετον ὕψος* 71.2 *ὕ δ α τ ο ς γαίης τε καὶ αἰθέρος ἠελίου τε* 109.1 *γαίῃ μὲν γὰρ γαῖαν ὀπώπαμεν, ὕ δ α τ ι δ' ὕ δ ω ρ* Φιλόλαος 12 *τὰ ἐν τᾷ σφαίρᾳ πῦρ ⟨καὶ⟩ ὕ δ ω ρ καὶ γᾶ καὶ ἀήρ, καὶ ὁ τᾶς σφαίρας ὁλκάς (?), πέμπτον* **3.** 'Ως προερχόμενο ἀπὸ τὴ θάλασσα, as coming from the sea, Ξενοφάνης 30.1-4 *πηγὴ δ' ἐστὶ θάλασσ(α) ὕ δ α τ ο ς ... οὔτ' αἰ⟨θέρος⟩ ὄμβριον ὕ δ ω ρ* 37 *καὶ μὲν ἐνὶ σπεάτεσσί τεοις καταλείβεται ὕ δ ω ρ* "Ιππων 1.1-4-5 *τὰ γὰρ ὕ δ α τ α πινόμενα πάντα ἐκ τῆς θαλάσσης ἐστὶν ... οὕτω γὰρ οὐκ ⟨ἂν⟩ ἐκ τῆς θαλάσσης τὸ ὕ δ ω ρ εἴη ... νῦν δὲ ἡ θάλασσα βαθυτέρα ἐστὶ τῶν ὑ δ ά τ ω ν* **4.** 'Ως χρήσιμο ἢ βλαπτικὸ γιὰ τὰ ἔμβια ὄντα, as useful or harmful for living creatures, Ξενοφάνης 1.8 *ψυχρὸν δ' ἔστιν ὕ δ ω ρ καὶ γλυκὺ καὶ καθαρὸν* 'Ηράκλειτος 61 *θάλασσα ὕ δ ω ρ καθαρώτατον καὶ μιαρώτατον, ἰχθύσι μὲν πότιμον καὶ σωτήριον, ἀνθρώποις δὲ ἄποτον καὶ ὀλέθριον* Δημόκριτος 172.3 *ὕ δ ω ρ βαθὺ εἰς πολλὰ χρήσιμον καὶ δαὖτε κακὸν* **5.** 'Ως εἶδος τοῦ ὄντος, as a kind of being, Μέλισσος 8(2)-(3) *εἰ γὰρ ἔστι γῆ καὶ ὕ δ ω ρ καὶ ἀὴρ καὶ πῦρ καὶ σίδηρος καὶ χρυσὸς ... ἐξ ὕ δ α τ ό ς τε γῆ καὶ λίθος γίνεσθαι* 'Αναξαγόρας 16.2 *ἐκ μὲν γὰρ τῶν νεφελῶν ὕ δ ω ρ ἀποκρίνεται, ἐκ δὲ τοῦ ὕ δ α τ ο ς γῆ* Διογένης 2.4 *εἰ γὰρ τὰ ἐν τῷδε τῷ κόσμῳ ἐόντα νῦν, γῆ καὶ ὕ δ ω ρ καὶ ἀὴρ καὶ πῦρ καὶ τὰ ἄλλα* **6.** 'Ως ἔννοια μεταφυσική, as metaphysical concept, 'Ηράκλειτος 36 *ψυχῇσιν θάνατος ὕ δ ω ρ γενέσθαι, ὕ δ α τ ι δὲ θάνατος γῆν γενέσθαι, ἐκ γῆς δὲ ὕ δ ω ρ γίνεται, ἐξ ὕ δ α τ ο ς δὲ ψυχή.* || 'Ηράκλειτος 12 *ποταμοῖσι τοῖσιν αὐτοῖσιν ἐμβαίνουσιν ἕτερα καὶ ἕτερα ὕ δ α τ α ἐπιρρεῖ* **7.** 'Ως συστατικὸ στοιχεῖο τοῦ φυσικοῦ κόσμου, as constitutive element of the physical world, 'Εμπεδοκλῆς 34 *ἄλφιτον ὕ δ α τ ι κολλήσας* 62.5 *οὐλοφυεῖς μὲν πρῶτα τύποι χθονὸς ἐξανέτελλον, ἀμφοτέρων ὕ δ α τ ό ς τε καὶ εἴδεος αἶσαν ἔχοντες* 81 *οἶνος ἀπὸ φλοιοῦ πέλεται σαπὲν ἐν ξύλῳ ὕ δ ω ρ* 84.10 *αἳ δ' ὕ δ α τ ο ς μὲν βένθος ἀπέστεγον ἀμφι-*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

ναέντος 100.11-15-16-21 *εἰς ὕ δ α τ ο ς βάπτησι τέρεν δέμας ἀργυφέοιο ... πνεύματος ἐλλείποντος ἐσέρχεται αἴσιμον ὕ δ ω ρ. ὣς δ' αὔτως, ὅθ' ὕ δ ω ρ μὲν ἔχῃ κατὰ βένθεα χαλκοῦ ... ὑπεκθέει αἴσιμον ὕ δ ω ρ* Ἀναξαγόρας 19.3 *τὸ γὰρ περιχεόμενον ὕ δ ω ρ τῷ νέφει ἄνεμον ἐποίησεν* Δημόκριτος 14 (DK II 143,25) *ὕ δ ω ρ* γίνεται.

**ὑετός** (συνών. *ὄμβρος, ὕδωρ*). Βροχή, rain, Διογένης 3.3 *χειμῶνός τε καὶ θέρους καὶ νυκτὸς καὶ ἡμέρας καὶ ὑ ε τ ῶ ν καὶ ἀνέμων καὶ εὐδιῶν.*

**υἱός.** Υἱός, son, Ἀλκμαίων 1 *Πειρίθου υ ἱ ὸ ς* Ἐμπεδοκλῆς 1 *Παυσανίη, σὺ δὲ κλῦθι, δαΐφρονος Ἀγχίτεω υ ἱ ὲ* 137.1-5 *μορφὴν δ' ἀλλάξαντα πατὴρ φίλον υ ἱ ὸ ν ἀείρας ... ὡς δ' αὔτως πατέρ' υ ἱ ὸ ς ἑλὼν* Δημόκριτος 272 *γαμβροῦ ὁ μὲν ἐπιτυχὼν εὗρεν υ ἱ ό ν, ὁ δὲ ἀποτυχὼν ἀπώλεσε καὶ θυγατέρα.*

**ὑμήν.** Ὑμένας/μεμβράνη περικαλυπτική, hymen/covering membrane, Λεύκιππος A 1 (DK II 71,5) τοῦτο δ' οἷον *ὑ μ έ ν α* ἀφίστασθαι A 23 (DK II 77,3) *χιτῶνα κύκλῳ καὶ ὑ μ έ ν α* περιτείνουσι τῷ κόσμῳ.

**ὑπακούειν.** Ὑπακούω/ὑποχωρῶ, yield, Ἀρχύτας 1.35 *τοῖς γὰρ ἰσχυρῶς φερομένοις μᾶλλον ὑ π α κ ο ύ ε ι ὁ ἀήρ.*

**ὕπαρ** (ἀντίθ. *ὄναρ*). Ἐν ἐγρηγόρσει/στὸν ξύπνο, in a waking state, Δημόκριτος 174 *ὁ μὲν εὔθυμος ... ὕ π α ρ καὶ ὄναρ χαίρει τε καὶ ἔρρωται.*

**ὑπάρχειν.** Ὑπόκειμαι, underlie, Φιλόλαος 6.5-8 *μὴ ὑ π α ρ χ ο ύ σ α ς τᾶς ἐστοῦς τῶν πραγμάτων... ἐπεὶ δὲ ταὶ ἀρχαὶ ὑ π ᾶ ρ χ ο ν οὐχ ὁμοῖαι.* || **ὑπάρχοντα.** Τὰ ὑπάρχοντα, (one's own) possessions, Δημόκριτος 191.11 *τὰ παρεόντα σοι καὶ ὑ π ά ρ χ ο ν τ α.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ